NSW GOVERNMENT

NSW Education Standards Authority

**2021** HIGHER SCHOOL CERTIFICATE EXAMINATION

# Classical Greek Continuers

**General Instructions**

- Reading time – 5 minutes
- Working time – 3 hours
- Write using black pen

**Total marks: 100**

**Section I – 35 marks** (pages 3–6)

- Attempt Questions 1–3
- Allow about 1 hour for this section

**Section II – 35 marks** (pages 7–11)

- Attempt Questions 4–6
- Allow about 1 hour for this section

**Section III – 30 marks** (pages 12–14)

- Attempt Questions 7–8
- Allow about 1 hour for this section

BLANK PAGE

## Section I — Prescribed Text – Thucydides, *Book IV*

**35 marks**
**Attempt Questions 1–3**
**Allow about 1 hour for this section**

Answer each question in a SEPARATE writing booklet. Extra writing booklets are available.

---

**Question 1** (10 marks)

Translate BOTH extracts into ENGLISH.

(a) **4.2** καὶ ἐγχειρήσαντες εἰργάζοντο, σιδήρια μὲν λιθουργὰ οὐκ ἔχοντες, λογάδην δὲ φέροντες λίθους, καὶ ξυνετίθεσαν ὡς ἕκαστόν τι ξυμβαίνοι· καὶ τὸν πηλόν, εἴ που δέοι χρῆσθαι, ἀγγείων ἀπορίᾳ ἐπὶ τοῦ νώτου ἔφερον, ἐγκεκυφότες τε, ὡς μάλιστα μέλλοι ἐπιμένειν, καὶ τὼ χεῖρε ἐς τοὐπίσω ξυμπλέκοντες, ὅπως μὴ ἀποπίπτοι. **4.3** παντί τε τρόπῳ ἠπείγοντο φθῆναι τοὺς Λακεδαιμονίους τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι πρὶν ἐπιβοηθῆσαι· τὸ γὰρ πλέον τοῦ χωρίου αὐτὸ καρτερὸν ὑπῆρχε καὶ οὐδὲν ἔδει τείχους. **5.1** οἱ δὲ ἑορτήν τινα ἔτυχον ἄγοντες, καὶ ἅμα πυνθανόμενοι ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, **5**

(b) **32.1** Οἱ δὲ Ἀθηναῖοι τοὺς μὲν πρώτους φύλακας, οἷς ἐπέδραμον, εὐθὺς διαφθείρουσιν ἔν τε ταῖς εὐναῖς ἔτι καὶ ἀναλαμβάνοντας τὰ ὅπλα, λαθόντες τὴν ἀπόβασιν, οἰομένων αὐτῶν τὰς ναῦς κατὰ τὸ ἔθος ἐς ἔφορμον τῆς νυκτὸς πλεῖν. **32.2** ἅμα δὲ ἕῳ γιγνομένῃ καὶ ὁ ἄλλος στρατὸς ἀπέβαινεν, ἐκ μὲν νεῶν ἑβδομήκοντα καὶ ὀλίγῳ πλεόνων πάντες πλὴν θαλαμιῶν, ὡς ἕκαστοι ἐσκευασμένοι, τοξόται δὲ ὀκτακόσιοι καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων, Μεσσηνίων τε οἱ βεβοηθηκότες καὶ οἱ ἄλλοι ὅσοι περὶ Πύλον κατεῖχον πάντες πλὴν τῶν ἐπὶ τοῦ τείχους φυλάκων. **5**

**Question 2** (15 marks) Use a SEPARATE writing booklet.

Read the extracts and then answer the questions that follow. Use the extracts and your knowledge of the text in your answers.

(a) **11.4** πάντων δὲ φανερώτατος Βρασίδας ἐγένετο. τριηραρχῶν γὰρ καὶ ὁρῶν τοῦ χωρίου χαλεποῦ ὄντος τοὺς τριηράρχους καὶ κυβερνήτας, εἴ που καὶ δοκοίη δυνατὸν εἶναι σχεῖν, ἀποκνοῦντας καὶ φυλασσομένους τῶν νεῶν μὴ ξυντρίψωσιν, ἐβόα λέγων ὡς οὐκ εἰκὸς εἴη ξύλων φειδομένους τοὺς πολεμίους ἐν τῇ χώρᾳ περιιδεῖν τεῖχος πεποιημένους, ἀλλὰ τάς τε σφετέρας ναῦς βιαζομένους τὴν ἀπόβασιν καταγνύναι ἐκέλευε, καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς ναῦς τοῖς Λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπιδοῦναι, ὀκείλαντας δὲ καὶ παντὶ τρόπῳ ἀποβάντας τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι.

(i) Who was Brasidas? **1**

(ii) How does Thucydides justify his description of Brasidas as πάντων φανερώτατος? **4**

(b) **26.3** στενοχωρία τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο, καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾑροῦντο κατὰ μέρος, αἱ δὲ μετέωροι ὥρμουν. **26.4** ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖχε παρὰ λόγον ἐπιγιγνόμενος, οὓς ᾤοντο ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν ἐν νήσῳ τε ἐρήμῃ καὶ ὕδατι ἁλμυρῷ χρωμένους.

(i) What difficulties for the ships and their crews are mentioned in this extract? **2**

(ii) ὁ χρόνος … παρὰ λόγον ἐπιγιγνόμενος (26.4). Explain why this happened. **3**

**Question 2 continues on page 5**

Question 2 (continued)

(c) **14.1** οἱ δ᾽ Ἀθηναῖοι γνόντες καθ᾽ ἑκάτερον τὸν ἔσπλουν ὥρμησαν ἐπ᾽ αὐτούς, καὶ τὰς μὲν πλείους καὶ μετεώρους ἤδη τῶν νεῶν καὶ ἀντιπρῴρους προσπεσόντες ἐς φυγὴν κατέστησαν, καὶ ἐπιδιώκοντες ὡς διὰ βραχέος ἔτρωσαν μὲν πολλάς, πέντε δὲ ἔλαβον, καὶ μίαν τούτων αὐτοῖς ἀνδράσιν· ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον. αἱ δὲ καὶ πληρούμεναι ἔτι πρὶν ἀνάγεσθαι ἐκόπτοντο· καί τινας καὶ ἀναδούμενοι κενὰς εἷλκον τῶν ἀνδρῶν ἐς φυγὴν ὡρμημένων. **14.2** ἃ ὁρῶντες οἱ Λακεδαιμόνιοι καὶ περιαλγοῦντες τῷ πάθει, ὅτιπερ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ, παρεβοήθουν, καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν τοῖς ὅπλοις ἀνθεῖλκον ἐπιλαμβανόμενοι τῶν νεῶν· καὶ ἐν τούτῳ κεκωλῦσθαι ἐδόκει ἕκαστος ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ παρῆν. **14.3** ἐγένετό τε ὁ θόρυβος μέγας καὶ ἀντηλλαγμένου τοῦ ἑκατέρων τρόπου περὶ τὰς ναῦς· οἵ τε γὰρ Λακεδαιμόνιοι ὑπὸ προθυμίας καὶ ἐκπλήξεως ὡς εἰπεῖν ἄλλο οὐδὲν ἢ ἐκ γῆς ἐναυμάχουν, οἵ τε Ἀθηναῖοι κρατοῦντες καὶ βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπὶ πλεῖστον ἐπεξελθεῖν ἀπὸ νεῶν ἐπεζομάχουν.

Explain how Thucydides’ language enhances the drama of this scene. **5**

**End of Question 2**

**Please turn over**

Your answer will be assessed on how well you:

- demonstrate knowledge and understanding of the text as a work of literature
- present a logical and cohesive response to the question, supported by relevant examples

**Question 3** (10 marks) Use a SEPARATE writing booklet.

Read the extract and then answer the question that follows.

> **36.3** καὶ οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις, ἐκεῖνοί τε γὰρ τῇ ἀτραπῷ περιελθόντων τῶν Περσῶν διεφθάρησαν, οὗτοί τε ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι μαχόμενοι καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτοδείαν ὑπεχώρουν, καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων.

Using this extract as a starting point, analyse the factors in Thucydides' account which he suggests are responsible for the outcome at Pylos. **10**

## Section II — Prescribed Text – Aristophanes, *Frogs*

**35 marks**
**Attempt Questions 4–6**
**Allow about 1 hour for this section**

Answer each question in a SEPARATE writing booklet. Extra writing booklets are available.

---

**Question 4** (10 marks) Use a SEPARATE writing booklet.

Translate BOTH extracts into ENGLISH.

(a) **5**

ΔΙ. ἀλλ᾽ ἐξόλοισθ᾽ αὐτῷ κοάξ·
οὐδὲν γάρ ἐστ᾽ ἀλλ᾽ ἢ κοάξ.
ΒΑ. εἰκότως γ᾽, ὦ πολλὰ πράττων.
ἐμὲ γὰρ ἔστερξαν εὔλυροί τε Μοῦσαι
καὶ κεροβάτας Πάν, ὁ καλαμόφθογγα παίζων·
προσεπιτέρπεται δ᾽ ὁ φορμικτὰς Ἀπόλλων,
ἕνεκα δόνακος, ὃν ὑπολύριον
ἔνυδρον ἐν λίμναις τρέφω.
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. ἐγὼ δὲ φλυκταίνας γ᾽ ἔχω,
χὠ πρωκτὸς ἰδίει πάλαι,
κᾆτ᾽ αὐτίκ᾽ ἐγκύψας ἐρεῖ –
ΒΑ. βρεκεκεκὲξ κοὰξ κοάξ.

(b) **5**

ΟΙ. νόμος τις ἐνθάδ᾽ ἐστὶ κείμενος
ἀπὸ τῶν τεχνῶν, ὅσαι μεγάλαι καὶ δεξιαί,
τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ συντέχνων
σίτησιν αὐτὸν ἐν πρυτανείῳ λαμβάνειν
θρόνον τε τοῦ Πλούτωνος ἑξῆς –
ΞΑ. μανθάνω.
ΟΙ. ἕως ἀφίκοιτο τὴν τέχνην σοφώτερος
ἕτερός τις αὐτοῦ· τότε δὲ παραχωρεῖν ἔδει.
ΞΑ. τί δῆτα τουτὶ τεθορύβηκεν Αἰσχύλον;
ΟΙ. ἐκεῖνος εἶχε τὸν τραγῳδικὸν θρόνον,
ὡς ὢν κράτιστος τὴν τέχνην.

**Question 5** (15 marks) Use a SEPARATE writing booklet.

Read the extracts and then answer the questions that follow. Use the extracts and your knowledge of the text in your answers.

(a)

ὦ βδελυρὲ κἀναίσχυντε καὶ τολμηρὲ σὺ
καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε,
ὃς τὸν κύν᾽ ἡμῶν ἐξελάσας τὸν Κέρβερον
ἀπῇξας ἄγχων κἀποδρὰς ᾤχου λαβών,
ὃν ἐγὼ ᾽φύλαττον. ἀλλὰ νῦν ἔχει μέσος·
τοία Στυγός σε μελανοκάρδιος πέτρα
Ἀχερόντιός τε σκόπελος αἱματοσταγὴς
φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες,
ἔχιδνά θ᾽ ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου
διασπαράξει· πλευμόνων τ᾽ ἀνθάψεται
Ταρτησσία μύραινα, τὼ νεφρὼ δέ σου
αὐτοῖσιν ἐντέροισιν ᾑματωμένω
διασπάσονται Γοργόνες Τειθράσιαι,
ἐφ᾽ ἃς ἐγὼ δρομαῖον ὁρμήσω πόδα.

(i) Who is the speaker in this extract? **1**

(ii) Explain the reference to τὸν Κέρβερον. **2**

(iii) Explain how the language reveals the speaker's state of mind. **3**

**Question 5 continues on page 9**

(b)

ΕΥ. ἐγᾦδα τοῦτον καὶ διέσκεμμαι πάλαι,
ἄνθρωπον ἀγριοποιόν, αὐθαδόστομον,
ἔχοντ᾽ ἀχάλινον, ἀκρατές, ἀθύρωτον στόμα,
ἀπεριλάλητον, κομποφακελορρήμονα.

ΑΙΣΧΥΛΟΣ

ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ;
σὺ δὴ ᾽μὲ ταῦτ᾽, ὦ στωμυλιοσυλλεκτάδη
καὶ πτωχοποιὲ καὶ ῥακιοσυρραπτάδη;
ἀλλ᾽ οὔ τι χαίρων αὔτ᾽ ἐρεῖς.

ΔΙ. παῦ᾽, Αἰσχύλε,
καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.

ΑΙ. οὐ δῆτα, πρίν γ᾽ ἂν τοῦτον ἀποφήνω σαφῶς
τὸν χωλοποιὸν οἷος ὢν θρασύνεται.

ΔΙ. ἄρν᾽ ἄρνα μέλανα, παῖδες, ἐξενέγκατε·
τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.

ΑΙ. ὦ Κρητικὰς μὲν συλλέγων μονῳδίας,
γάμους δ᾽ ἀνοσίους ἐσφέρων εἰς τὴν τέχνην, –

Explain the nature of the criticisms the two poets are hurling at each other in this extract. **4**

(c)

ΕΥ. τί δέδρακας, ὦ μιαρώτατ᾽ ἀνθρώπων;

ΔΙ. ἐγώ;
ἔκρινα νικᾶν Αἰσχύλον. τίη γὰρ οὔ;

ΕΥ. αἴσχιστον ἔργον προσβλέπεις μ᾽ εἰργασμένος;

ΔΙ. τί δ᾽ αἰσχρόν, ἢν μὴ τοῖς θεωμένοις δοκῇ;

To what extent does Dionysus' decision provide an appropriate ending to his quest? **5**

**End of Question 5**

Your answer will be assessed on how well you:

- demonstrate knowledge and understanding of the text as a work of literature
- present a logical and cohesive response to the question, supported by relevant examples

**Question 6** (10 marks) Use a SEPARATE writing booklet.

Read the extract and then answer the question that follows.

ΞΑ. καὶ μὴν ὁρῶ νὴ τὸν Δία θηρίον μέγα.
ΔΙ. ποῖόν τι;
ΞΑ. δεινόν. παντοδαπὸν γοῦν γίγνεται·
τοτὲ μέν γε βοῦς, νυνὶ δ᾽ ὀρεύς, τοτὲ δ᾽ αὖ γυνὴ
ὡραιοτάτη τις.
ΔΙ. ποῦ ᾽στι; φέρ᾽ ἐπ᾽ αὐτὴν ἴω.
ΞΑ. ἀλλ᾽ οὐκέτ᾽ αὖ γυνή ᾽στιν, ἀλλ᾽ ἤδη κύων.
ΔΙ. Ἔμπουσα τοίνυν ἐστί.
ΞΑ. πυρὶ γοῦν λάμπεται
ἅπαν τὸ πρόσωπον.
ΔΙ. καὶ σκέλος χαλκοῦν ἔχει;
ΞΑ. νὴ τὸν Ποσειδῶ, καὶ βολίτινον θἄτερον,
σάφ᾽ ἴσθι.
ΔΙ. ποῖ δῆτ᾽ ἂν τραποίμην;
ΞΑ. ποῖ δ᾽ ἐγώ;
ΔΙ. ἱερεῦ, διαφύλαξόν μ᾽, ἵν᾽ ὦ σοι ξυμπότης.
ΞΑ. ἀπολούμεθ᾽, ὦναξ Ἡράκλεις.
ΔΙ. οὐ μὴ καλεῖς μ᾽,
ὤνθρωφ᾽, ἱκετεύω, μηδὲ κατερεῖς τοὔνομα.
ΞΑ. Διόνυσε τοίνυν.
ΔΙ. τοῦτό ἔθ᾽ ἧττον θατέρου.
ΞΑ. ἴθ᾽ ᾗπερ ἔρχει. δεῦρο δεῦρ᾽, ὦ δέσποτα.
ΔΙ. τί δ᾽ ἐστί;
ΞΑ. θάρρει· πάντ᾽ ἀγαθὰ πεπράγαμεν,
ἔξεστί θ᾽ ὥσπερ Ἡγέλοχος ἡμῖν λέγειν·
‘ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ.’
Ἥμπουσα φρούδη.
ΔΙ. κατόμοσον.
ΞΑ. νὴ τὸν Δία.

**Question 6 continues on page 11**

ΔΙ. καὖθις κατόμοσον.
ΞΑ. νὴ Δί᾽.
ΔΙ. ὄμοσον.
ΞΑ. νὴ Δία.
ΔΙ. οἴμοι τάλας, ὡς ὠχρίασ᾽ αὐτὴν ἰδών.
ΞΑ. ὁδὶ δὲ δείσας ὑπερεπυρρίασέ σου.
ΔΙ. οἴμοι, πόθεν μοι τὰ κακὰ ταυτὶ προσέπεσεν;
τίν᾽ αἰτιάσομαι θεῶν μ᾽ ἀπολλύναι;
ΞΑ. αἰθέρα Διὸς δωμάτιον ἢ Χρόνου πόδα;

To what extent does this extract illustrate the range of humour used by Aristophanes in *Frogs*? **10**

**End of Question 6**

**Please turn over**

## Section III — Unseen Texts

**30 marks**
**Attempt Questions 7–8**
**Allow about 1 hour for this section**

Answer each question in a SEPARATE writing booklet. Extra writing booklets are available.

---

Your translation will be assessed on how well you:

- demonstrate understanding of the text by translating into clear and fluent English
- demonstrate your understanding of the content and style of the author by selecting vocabulary appropriate to the context

---

**Question 7** (15 marks) Use a SEPARATE writing booklet.

Read the extract and then answer the questions that follow.

**Cleisthenes has important news for the women assembled to complain about Euripides**

CL. Dear ladies, my kindred in lifestyle.
Yes, I am crazy about women
and represent your interests always.

καὶ νῦν ἀκούσας πρᾶγμα περὶ ὑμῶν μέγα
ὀλίγῳ τι πρότερον κατ᾽ ἀγορὰν λαλούμενον,
ἥκω φράσων τοῦτ᾽ ἀγγελῶν θ᾽ ὑμῖν, ἵνα
σκοπῆτε καὶ τηρῆτε μὴ καὶ προσπέσῃ
ὑμῖν ἀφάρκτοις πρᾶγμα δεινὸν καὶ μέγα.

ΧΟΡΟΣ

τί δ᾽ ἔστιν, ὦ παῖ; παῖδα γάρ σ᾽ εἰκὸς καλεῖν,
ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.

ΚΛ. Εὐριπίδην φάσ᾽ ἄνδρα κηδεστήν τινα
αὑτοῦ γέροντα δεῦρ᾽ ἀναπέμψαι τήμερον.

ΧΟ. πρὸς ποῖον ἔργον ἢ τίνος γνώμης χάριν;

ΚΛ. ἵν᾽ ἅττα βουλεύοισθε καὶ μέλλοιτε δρᾶν,
ἐκεῖνος εἴη τῶν λόγων κατάσκοπος.

Aristophanes *Thesmophoriazusae* 577–588

With kind permission of Jeffrey Henderson

**Question 7 continues on page 13**

Question 7 (continued)

| | |
|---|---|
| λαλέω | *I talk about* |
| τηρέω | *I take care* |
| ἄφαρκτος, -ον | *unguarded, off one's guard* |
| εἰκός | *fair, reasonable* |
| ἕως | *as long as, while* |
| ψιλός, -ή, -όν | *bare* |
| κηδεστής, -οῦ ὁ | *kinsman* |
| τήμερον | *today* |

(a) With which word does λαλούμενον (line 578) agree? **1**

(b) Why is ἀγγελῶν (line 579) in the future tense? **1**

(c) Why is Εὐριπίδην (line 584) in the accusative case? **1**

(d) Why is εἴη (line 588) in the optative mood? **1**

(e) Translate the extract into ENGLISH. **10**

(f) What physical feature of Cleisthenes do the women comment upon? **1**

**End of Question 7**

**Please turn over**

**Question 8** (15 marks) Use a SEPARATE writing booklet.

Read the extract and then answer the questions that follow.

**Demosthenes' forces suffer a terrible defeat in Aetolia**

*Now as long as their bowmen had arrows and were able to use them the Athenians held out, for the Aetolian troops were light-armed and so, while they were exposed to the arrows, they were constantly driven back. But when the captain of the archers had been killed and his men scattered, and the hoplites were worn out, they at last turned and fled,*

καὶ ἐσπίπτοντες ἔς τε χαράδρας ἀνεκβάτους καὶ χωρία ὧν οὐκ ἦσαν ἔμπειροι διεφθείροντο. οἱ δὲ Αἰτωλοὶ ἐσακοντίζοντες πολλοὺς μὲν αὐτοῦ διέφθειρον, τοὺς δὲ πλείους τῶν ὁδῶν ἁμαρτάνοντας καὶ ἐς τὴν ὕλην ἐσφερομένους, ὅθεν διέξοδοι οὐκ ἦσαν, πῦρ κομισάμενοι περιεπίμπρασαν· πᾶσά τε ἰδέα κατέστη τῆς φυγῆς καὶ τοῦ ὀλέθρου τῷ στρατοπέδῳ τῶν Ἀθηναίων, μόλις τε ἐπὶ τὴν θάλασσαν οἱ περιγενόμενοι κατέφυγον. ἀπέθανον δὲ τῶν τε ξυμμάχων πολλοὶ καὶ αὐτῶν Ἀθηναίων ὁπλῖται περὶ εἴκοσι μάλιστα καὶ ἑκατόν. τοσοῦτοι μὲν καὶ οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν τῷ πολέμῳ τῷδε ἐκ τῆς Ἀθηναίων πόλεως διεφθάρησαν· ἀπέθανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς Προκλῆς. τοὺς δὲ νεκροὺς ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν Αἰτωλῶν καὶ ἀναχωρήσαντες ἐς Ναύπακτον ὕστερον ἐς τὰς Ἀθήνας ταῖς ναυσὶν ἐκομίσθησαν. Δημοσθένης δὲ περὶ Ναύπακτον ὑπελείφθη τοῖς πεπραγμένοις φοβούμενος τοὺς Ἀθηναίους.

Thucydides III 98

| | | | |
|---|---|---|---|
| χαράδρα ἡ | *ravine* | περιπίμπρημι | *I surround with fire* |
| ἀνέκβατος, -ον | *with no way out* | ἰδέα ἡ | *form, manner* |
| ἐσακοντίζω | *I throw javelins at* | ὄλεθρος ὁ | *destruction* |
| ἁμαρτάνω + gen | *I miss* | βέλτιστος, -η, -ον | *the best* |
| διέξοδος ἡ | *a way out* | ὑπόσπονδος, -ον | *under a truce* |
| πῦρ τό | *fire* | | |

(a) What part of speech is αὐτοῦ (line 3)? **1**

(b) Why are the words τοὺς πλείους (line 3) in the accusative case? **1**

(c) With which word does κομισάμενοι (line 4) agree? **1**

(d) Translate the extract into ENGLISH. **10**

(e) Identify TWO possible reasons for Demosthenes' fear. **2**

**End of paper**

BLANK PAGE

BLANK PAGE



© 2021 NSW Education Standards Authority